# E07.1.2b+1.3 Lesehilfe 4

**Nur noch zwei Hilfen angegeben:**
τὸ κα = Doppelkürze statt Länge
erste Silbe „betont“
/ = Metrum-Ende

***Πυ·*** οὐκ ἴστε τὸ κα/κὸν οἷόν ἐσ/τι. κατέδεται
ἡμᾶς. ***Χαι·*** τυχὸν ἴ/σως <ὅδ’> ὀδυνώ/μενός τι νῦν
τετύχηκε· διό/περ ἀναβαλέσ/θαι μοι δοκεῖ
αὐτῶι προσελ/θεῖν, Σώστρατ’· εὖ τοῦτ’ ἴσθ’ ὅτι
πρὸς πάντα πράγ/ματ’ ἐστὶ πρακ/τικώτερον
εὐκαιρία/. ***Πυ·*** νοῦν ἔχετε. ***Χαι·*** ὑπέρ/πικρον δέ τι
ἐστὶν πένης/ γεωργός, οὐχ/ οὗτος μόνος,
σχεδὸν δ’ ἅπαν/τες. ἀλλ’ ἕω/θεν αὔριον
ἐγὼ πρόσειμ’/ αὐτῶι μόνος,/ τὴν οἰκίαν
ἐπείπερ οἶ/δα. νῦν δ’ ἀπελ/θὼν οἴκαδε
καὶ σὺ διάτρι/βε· τοῦτο δ’ ἕ/ξει κατὰ τρόπον.
***Πυ·*** πράττωμεν οὕ/τως. ***Σώ·*** πρόφασιν οὗ/τος ἄσμενος
εἴληφεν· εὐ/θὺς φανερὸς ἦν/ οὐχ ἡδέως
μετ’ ἐμοῦ βαδί/ζων οὐδὲ δοκι/μάζων πάνυ
τὴν ἐπιβολ]ὴν/ τὴν τοῦ γάμου/. κακὸν δὲ σὲ
κακῶς ἅπ]αν/τες ἀπολέσει/αν οἱ θεοί,
μαστιγία/. ***Πυ·*** τί δ’] ἠδίκη/κα, Σώστρατε ;
***Σώ·*** ἐμβᾶς γα]ρ εἰς/ τὸ χωρίον/ τι δηλαδή.
***Πυ·*** οὐ μὰ Δί’] ἔκλεπτον. ***Σώ·*** ἀλλ’/ ἐμαστίγου σέ τις
οὐδὲν ἀδικοῦν/τα; ***Πυ·*** καὶ πάρεσ/τί γ’ οὑτοσί
αὐτὸς – ὑπάγω/, βέλτιστε. σὺ δὲ/ τούτωι λάλει.
***Σώ·*** οὐκ ἂν δυναί/μην· ἀπίθανός/ τις εἴμ’ ἀεὶ
ἐν τῶι λαλεῖν/. ποῖον λέγει[ν/ δεῖ τουτο]νί;
οὐ πάνυ φιλάν/θρωπον β[λέπειν/ μ]οι φαίνεται,
μὰ τὸν Δί’· ὡς/ δ’ ἐσπούδακ’. ἐ[πα/νάξ]ω βραχὺ
ἀπὸ τῆς θύρας/. βέλτιον. ἀλ/λὰ κ[αὶ β]οᾶι
μόνος βαδί/ζων. οὐχ ὑγιαί/νειν μοι δοκεῖ.
δέδοικα μέν/τοι, μὰ τὸν Ἀπόλ/λω καὶ θεούς,
αὐτόν. τί γὰρ ἄν/ τις μὴ οὐχὶ τά/ληθῆ λέγοι;
***Κν·*** εἶτ’ οὐ μακάριος ἦν ὁ Περσεὺς κατὰ δύο
τρόπους ἐκεῖνος, ὅτι πετηνὸς ἐγένετο
κοὐδενὶ συνήντα τῶν βαδιζόντων χαμαί,
εἶθ’ ὅτι τοιοῦτο κτῆμ’ ἐκέκτηθ’ ὧι λίθους
ἅπαντας ἐπόει τοὺς ἐνοχλοῦντας; ὅπερ ἐμοὶ
νυνὶ γένοιτ’· οὐδὲν γὰρ ἀφθονώτερον
λιθίνων γένοιτ’ <ἂν> ἀνδριάντων πανταχοῦ.
νῦν δ’ οὐ βιωτόν ἐστι, μὰ τὸν Ἀσκληπιόν.
λαλοῦσ’ ἐπεμβαίνοντες εἰς τὸ χωρίον
ἤδη· παρ’ αὐτὴν τὴν ὁδὸν γάρ, νὴ Δία,
εἴωθα διατρίβειν; ὃς οὐδ’ ἐργάζομαι
τοῦτο τὸ μέρος <τοῦ> χωρίου, πέφευγα δὲ
διὰ τοὺς παριόντας. ἀλλ’ ἐπὶ τοὺς λόφους ἄνω
ἤδη διώκουσ’. ὢ πολυπληθείας ὄχλου.
οἴμοι, πάλιν τις οὑτοσὶ πρὸς ταῖς θύραις
ἕστηκεν ἡμῶν. ***Σώ·*** ἆρα τυπτήσει γέ με ;
***Κν·*** ἐρημίας οὐκ ἔστιν οὐδαμοῦ τυχεῖν,
οὐδ’ ἂν ἀπάγξασθαί τις ἐπιθυμῶν τύχηι.